*ΠΥΘΑΓΟΡΑΣ*

*Διδάξομαι μὲν οὐδέν, ἀναμνήσω δέ.*

*ΑΓΟΡΑΣΤΗΣ*

*Πῶς ἀναμνήσεις;*

*ΠΥΘΑΓΟΡΑΣ*

*Καθαρὴν πρότερον τὴν ψυχὴν ἐργασάμενος καὶ τὸν ἐπ' αὐτῇ ῥύπον ἐκκλύσας.*

*ΑΓΟΡΑΣΤΗΣ*

*Καὶ δὴ νόμισον ἤδη ἐκκεκαθάρθαι με, τίς ὁ τρόπος τῆς ἀναμνήσεως;*

*ΠΥΘΑΓΟΡΑΣ*

*Τὸ μὲν πρῶτον ἡσυχίη μακρὴ καὶ ἀφωνίη καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδέν.*

*ΑΓΟΡΑΣΤΗΣ*

*Ὥρα σοι, ὦ βέλτιστε, τὸν Κροίσου παῖδα παιδεύειν· ἐγὼ γὰρ λάλος, οὐκ ἀνδριὰς εἶναι βούλομαι. τί δὲ μετὰ τὴν σιωπὴν ὅμως καὶ τὴν πενταετίαν;*

*ΠΥΘΑΓΟΡΑΣ*

*Μουσουργίῃ καὶ γεωμετρίῃ ἐνασκήσεαι.*

*ΑΓΟΡΑΣΤΗΣ*

*Χάριεν λέγεις, εἰ πρῶτόν με κιθαρῳδὸν γενόμενον κᾆτα εἶναι σοφὸν χρή.*

*ΠΥΘΑΓΟΡΑΣ*

4 *Εἶτ' ἐπὶ τουτέοισιν ἀριθμέειν.*

*ΑΓΟΡΑΣΤΗΣ*

*Οἶδα καὶ νῦν ἀριθμεῖν.*